## Βουδαῖος Μαΐνῳ εὖ πράττειν.

Ἐπιστολὰς ἐπιστέλλων, δίχα ἀμοιβῆς καὶ ἀναγινώσκων, τὴν ἀηδίαν παραμυθήσασθαι ἐδυνάμην ἂν περὶ ἐνταῦθα διατριβῆς, εἴγε τοῖς γραμματηφόροις γράμματα ἐπιθεὶς, ἐν μέρει λάβοιμι αὐτοὺς καὶ ἴσα ἢ τοσαῦτα αὐτῶν ἐπανιόντων. νῦν δὲ οὕτως ἐπιθυμητικῶς ἔχω τοῦ ἀκοῦσαι τὰ περὶ τοὺς οἰκείους καὶ προσήκοντας, ὥστε συχνὰ γράμματα γράψας, οὐκ οἶδ' ὅπως μοι δοκῶ σπάνια ἀντικομίσασθαι. καὶ ἐνίοτε ἄχθομαι ὥσπερεὶ ὑπὸ τῶν φίλων περὶ ἀμοιβῆς ἐστερημένος, καὶ τῶν ἴσων οὐ τυχών. ὅμως μέν τοι τρίτην τὴν δὲ τὴν ἡμέραν ἐδεξάμην γράμματα παρά τε σοῦ καὶ περὶ συνοικούσης μου καὶ ἄλλων τινῶν φίλων, δευτέρᾳ ἱσταμένου τοῦ μηνὸς τούτου γεγραμμένα. ταῦτα δὲ δείλης ὀψίας λαβὼν, μέλλων ἐπὶ δεῖπνῳ ἀνακλινῆσθαι παρά τῳ τῶν ἐπιφανῶν, ἀνεβαλόμην τὴν ἀνάγνωσιν αὐτῶν. μετὰ δὲ τὸ δεῖπνον μεθισάμενος, καὶ γεγηθότως ἀναγνοὺς, εἶτ' ἀπιὼν οἴκαδε καὶ ταχυγραφήσας, τὴν δέσμην τῶν γραμμάτων βαθείας ἤδη νυκτὸς τῷ δρομεῖ ἀντεπέθηκα παραυτίκα οἰχησομένῳ, διὰ σπουδῆς ἔχων δήπου μὴ ἡττᾶσθαι δοκεῖν περὶ ἐπιμελείας ὑμῶν. περὶ μὲν οὖν τοῦ Ἐράσμου ἀνδρὸς ἐμοὶ ἠγαπημένου ἥσθην ἀναγνοὺς τὸ ὑπό σου εἰσηγγελμένον, ὡς ἄρα πάλιν αὐτὸς τῷ Φάβρῳ ἀνδρὶ ἀξιεράστῳ πάλιν ἐφιλιώθη. ὅτι δὲ τὴν ἐπιστροφήν σου τὴν ἀμφὶ τοὺς παῖδας τοὺς ἐμοὺς, τηλικαύτην μοι ἢ τοιαύτην κατεπήγγελσαι, ὅσαν ἢ τὴν ἐμὴν ὑπερβαλέσθαι προσδοκίαν τε καὶ ἀξίωσιν. τοῦτο δὴ ὑπερήσθην. ἵνα τοίνυν βέλτιον τὴν διάνοιάν μου συνείδῃς, ἀναγνωστέον σοι καὶ τὰ πρὸς Δράκωνα γράμματα ἐν τῷ δὲ τῷ φακελλίῳ συνδεδεμένα. δεῖ γάρ σοι εἰς τοῦτο οὐ μιᾶς καὶ ἁπλῆς φροντίδος καὶ προστασίας, ὁπότε πρὸς τῇ εὐμαθίᾳ τῶν παίδων, προσδεῖ καὶ σεμνῆς ἢ γενναίας αὐτῶν ἀγωγῆς. ἅπερ εἰ αὐτοῖς ἀποτελεσθέντα σύγε παράσχοις, κεχαρισμένον πάνυ τι πρᾶγμα ἔσῃ μοι πεποιηκώς. ἔρρωσο, ἐν Μοναστερεόλῳ δεκάτῃ ἱσταμένου τοῦ σκιρροφοριῶνος, ὃν Μάϊον καλοῦσιν οἱ Ῥωμαῖοι.